γε πολλῷ ῥάω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν
τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας. Ἢ ὑγιει-
νότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις εἶναι
τὴν καχεξίαν τῆς εὐεξίας; ἢ τῶν διὰ τὴν εὐεξίαν
4 γιγνομένων καταφρονεῖς; Καὶ μὴν πάντα γε τἀ-
ναντία συμβαίνει τοῖς εὖ τὰ σώματα ἔχουσιν ἢ τοῖς
κακῶς. καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες,
καὶ ἰσχύουσι, καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολε-
μικῶν ἀγώνων σώζονταί τε εὐσχημόνως, καὶ τὰ δεινὰ
πάντα διαφεύγουσι· πολλοὶ δὲ φίλοις τε βοηθοῦσι καὶ
τὴν πατρίδα εὐεργετοῦσι, καὶ διὰ ταῦτα χάριτός τε
ἀξιοῦνται, καὶ δόξαν μεγάλην κτῶνται, καὶ τιμῶν καλ-
λίστων τυγχάνουσι· καὶ διὰ ταῦτα τόν τε λοιπὸν βίον
ἥδιον καὶ κάλλιον διαζῶσι, καὶ τοῖς ἑαυτῶν παισὶ καλ-
5 λίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν. Οὔτοι
χρὴ, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πό-
λεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον
ἐπιμελεῖσθαι. εὖ γὰρ ἴσθι, ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ
ἀγῶνι, οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις, διὰ τὸ βέλ-
τιον τὸ σῶμα παρεσκευάσθαι· πρὸς πάντα γὰρ, ὅσα
πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν, ἐν
πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει
6 ὡς βέλτιστα τὸ σῶμα ἔχειν. Ἐπεὶ καὶ ἐν ᾧ δο-
κεῖς ἐλαχίστην σώματος χρείαν εἶναι, ἐν τῷ διανοεῖ-
σθαι, τίς οὐκ οἶδεν, ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα
σφάλλονται, διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; καὶ λή-
θη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία πολλάκις
πολλοῖς

τούτων] Scil. ἐπιτιμίων τῆς καχεξίας, et ἃ refertur ad ῥάω καὶ ἡδίω. Haec non monuissem, nisi vidissem, esse qui ἃ referant ad τούτων, et putent, hunc esse sermonem Epigenis.

τῆς εὐεξίας] Haec absunt a Iunt. Sed Bessario conuenit cum Ald. et Steph.

§. 4. καὶ διὰ ταῦτα τόν τε] Verba διὰ ταῦτα non vertit Bessario; atque Valkenarius ex versu praecedente male repetita putat et delenda.

§. 5. ὅτι ἡ πόλις] H. e. διότι ἡ π.

τὰ πρὸς τὸν πόλεμον] H. e. *meditationes et exercitationes bellicas.* Falluntur ergo, qui ἀσκεῖν τὰ πρ. τ. π. interpretantur, *bellum gerere.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/240 gefördert von der Deutschen Forschungsgemeinschaft DFG